κάει καὶ φλέγει σώματα οὔτε γὰρ νύξ], οὔτε ἑσπέρα· οὐ κρυμός, οὐ θάλπος, οὐκ ἄλλη τις τροπῶν μεταβολή, ἀλλ' ἑτέρα τις κατάστασις τοιαύτη, ἣν οἱ καταξιωθέντες εἴσονται μόνον· οὐκ ἔστι γῆρας ἐκεῖ καὶ τὰ τοῦ γήρως κακά, ἀλλὰ πάντα ἐκποδῶν γίνεται τὰ τῆς φθορᾶς, τῆς ἀφθάρτου δόξης κρατούσης πανταχοῦ. Τὸ δὲ τούτων ἁπάντων μεῖζον, τὸ τῆς πρὸς τὸν Χριστὸν ὁμιλίας ἀπολαύειν διηνεκῶς, μετὰ ἀγγέλων, μετὰ ἀρχαγγέλων, μετὰ τῶν ἀνωτέρω δυνάμεων.

Ἴδε τὸν οὐρανὸν νῦν καὶ διάβηθι τῷ λογισμῷ πρὸς τὰ ὑπὲρ τὸν οὐρανόν, λογίσαι τῆς κτίσεως ἁπάσης τὸν μετασχηματισμόν· οὐ γὰρ τοιαύτη μενεῖ ἀλλὰ πολλῷ καλλίων ἔσται καὶ φαιδροτέρα· τί λέγω; καὶ ὅσῳ μολύβδου πρὸς χρυσὸν ἀποστίλβοντα τὸ μέσον, τοσούτῳ τῆς παρασκευῆς ἔσται ταύτης βελτίων ἡ τότε, καθὼς καὶ ὁ μακάριος Παῦλός φησιν· « ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς. » Νῦν μὲν γὰρ ἅτε φθορᾶς μετέχουσα, πολλὰ πάσχει ὅσα τὰ τοιαῦτα σώματα πάσχειν εἰκός· τότε δὲ πάντα ἀποδυσαμένη ταῦτα, ἄφατον ἐπιδείξεται τὴν εὐπρέπειαν· ἐπειδὴ γὰρ ἄφθαρτα μέλλει δέχεσθαι σώματα, καὶ αὐτὴ λοιπὸν ἐπὶ τὸ κρεῖττον μετασχηματισθήσεται. Οὐδαμοῦ τότε στάσις καὶ μάχη· πολλὴ γὰρ ἡ συμφωνία, τῶν ἁγίων πάντων ὁμογνωμονούντων ἀλλήλοις ἀεί. Οὐκ ἔστιν ἐκεῖ διάβολον δεῖσαι καὶ δαιμόνων ἐπιβουλάς, οὐ γεέννης ἀπειλήν, οὐ θάνατον, οὐ τοῦτον τὸν νῦν, οὐ τὸν πολλῷ τούτου χαλεπώτερον ἐκεῖνον, ἀλλὰ πᾶς